# TEZAUR LITURGIC

## 15 MAI

# SLUJBA SF.IERARH AHILE, ARHIEPISCOPUL LARISEI

ATENA,2015


ΑΠΟΣΤΟΛΙΚΗ ΔΙΑΚΟΝΙΑ
ΤΗΣ ΕΚΚΛΗΣΙΑΣ ΤΗΣ ΕΛΛΑΔΟΣ

# ΤΗ ΙΕ᾽ ΤΟΥ ΜΗΝΟΣ ΜΑΪΟΥ
# Μνήμη του ἐν Ἁγίοις Πατρὸς ἡμῶν Ἀχιλλίου Ἀρχιεπισκόπου Λαρίσης, τοῦ θαυματουργοῦ

## ΕΝ ΤΩ ΜΙΚΡΩ ΕΣΠΕΡΙΝΩ

Εἰς τό Κύριε ἐκέκραξα, ἱστῶμεν στίχους δ΄. Ἦχος δ΄. Ἔδωκας σημείωσιν.

Ἔδειξε σὲ Κύριος, μύρῳ σεπτῷ θείου χρίσματος, ὡς Ποιμένα θεόφρονα, ἀξίως ποιμάναντα, τὸν λαόν σου μάκαρ, καὶ εἰς σωτηρίους, καθοδηγήσαντα πηγάς, καὶ ἐπὶ ὕδατος ἀναπαύσεως· διό σου τὴν πανίερον, μνήμην πιστῶς ἑορτάζοντες, ἀνυμνοῦμεν σὲ ᾄσμασι, θεοφόρε Ἀχίλλιε.

Θαυμάσιον γέγονε, καὶ ὑπὲρ πᾶσαν κατάληψιν, καὶ παράδοξον ἄκουσμα! ὁ βλύσας γὰρ νάματα, τοῖς Ἰσραηλίταις, ἐξ ἀγόνου πέτρας, αὐτὸς καὶ νῦν θαυματουργῶν, σὲ κατηξίωσε ὦ Ἀχίλλιε, ἐκ λίθου βλύσαι ἔλαιον, ἐπικυρῶν σοῦ τὸ κήρυγμα, ἀναιρῶν τὸ κακόδοξον, τοῦ Ἀρείου καὶ βλάσφημον.

Πατέρων ἀγλάϊσμα, καὶ τῶν Ὁσίων συνόμιλε, Θεοφόρε Ἀχίλλιε, φύλαττε τὴν ποίμνην σου, ἥνπερ ἠρετίσω, δεόμεθα μάκαρ, ὡς παρεστὼς ἐν οὐρανοῖς, καὶ τὰ ἐκεῖσε ἐνοπτριζόμενος, κινδύνων τε καὶ θλίψεων, καὶ πάσης βλάβης ἐκλύτρωσαι, τὴν τιμῶσαν τὴν μνήμην σου, καὶ πιστῶς σὲ γεραίρουσαν.

Ἔχρισέ σε Κύριος, Ἱεραρχίας τῷ χρίσματι, θεοφορε

Ἀχίλλιε, ἐντεῦθεν ἐποίμανας, τὸν λαόν σου μάκαρ, ἐπὶ δικαιοσύνῃ, ἐπὶ νομὰς δογματικάς, καὶ ἐπὶ ὕδατος ἀναπαύσεως, διό σου τὸ μνημόσυνον, ἐπιτελοῦντες βοῶμέν σοι: Ἐθαυμάστωσε Κύριος, ἐπὶ γῆς σε μακάριε.

Δόξα. Ἦχος α΄.

Δεῦτε τῶν ὀρθοδόξων τὸ σύστημα πνευματικῶς εὐωχηθῶμεν ἐπὶ τῇ μνήμῃ τοῦ θεοφόρου Πατρός. Τῆς Συνόδου γὰρ ἐν Νικαίᾳ φωστὴρ ἐδείχθη, καὶ τῆς ὀρθοδόξου πίστεως προστάτης καὶ διδάσκαλος, τῆς πλάνης καθαιρέτης καὶ τῆς Ἐκκλησίας τὸ καύχημα. Διὸ τούτῳ προσείπωμεν λέγοντες: Χαίροις Ἀρχιερέων ὁ κανῶν, τῆς Θεσσαλίας τὸ κλέος, τῆς Λαρίσης ὁ ποιμὴν ὁ καλός. Παῤῥησίαν ἔχων πρὸς Θεὸν παμμάκαρ Ἀχίλλιε, αἴτησαι ταῖς ψυχαῖς ἡμῶν τὴν εἰρήνην καὶ τὸ μέγα ἔλεος.

Καὶ νῦν Τῆς ἑορτῆς.

Εἰς τὸν Στίχον. Ἦχος β΄. Οἶκος τοῦ Εὐφραθᾶ.

Δεῦτε τῶν εὐσεβῶν, ὁμήγυρις ἀγάλλου· συνέδραμε καὶ γὰρ νῦν, τῇ τοῦ Χριστοῦ ἐγέρσει, ἡ Ἀχιλλίου κοίμησις.

Στίχ. Τίμιος ἐναντίον Κυρίου ὁ θάνατος τοῦ Ὁσίου Αὐτοῦ.

Λάρισα φαεινή, εὐφραίνου καὶ σκιρτῶσα, ἑόρταζε καὶ χαῖρε, πανήγυριν τοῦ θείου, τιμῶσα Ἱεράρχου σου.

Στίχ. Μακάριος ἀνὴρ ὁ φοβούμενος τὸν Κύριον.

Δεῦρο καὶ ὁ λαός, εὐάνδρου Θεσσαλίας, Χριστοῦ τὸν θεῖον μύστην, Ἀχίλλιον τὸν μέγαν, ἐν ὕμνοις

εὐφημήσωμεν.
Δόξα. Ἦχος πλ. β΄.
Τῆς οἰκουμένης φωστῆρα ὁ Θεὸς σὲ Ἀχίλλιε ἔδειξε, τὰς ἀρετάς σου βραβεύων. Τῶν μοναστῶν γὰρ μιμητῆς ὑπάρχων, ἡ καλλονὴ ἐγένου τῶν Ἀρχιερέων, ὁ προστάτης χηρῶν καὶ ὀρφανῶν, τῶν χειμαζόμενων λιμὴν ἀσφαλής, καὶ τῆς ὀρθοδοξίας πρόμαχος. Τῆς ψυχῆς δὲ τὸ ἀκηλίδωτον τηρήσας καὶ προσομιλῶν τῷ Θεῷ, πλούσιος ἐν ἔργοις ἀγαθοῖς, ἀνέδραμες εἰς οὐρανοῖς στεφανηφόρος. Καὶ νῦν ἐν τοῖς ἄνω λειτουργῶν, μνημόνευε καὶ ἡμῶν, τῶν πιστῶς σου τελούντων τὸ μνημόσυνον.
Καί νῦν. Θεοτόκε, Σὺ ἡ ἄμπελος...

Ἀπολυτικιον. Ἦχος γ΄. Θείας πίστεως.
Χαίρει ἔχουσα, ἡ Θεσσαλία, σὲ ἀκοίμητον, φρουρῶν προστάτην, καὶ τῆς Λαρίσης ἡ πόλις ἀδάμαντα, ἡ Ἐκκλησία τὴν εὔηχον σάλπιγγα, τὸ τοῦ Υἱοῦ ὁμοούσιον κηρύξασαν, Πάτερ Ἅγιε Ἱεράρχα Ἀχίλλιε, Χριστὸν τὸν Θεὸν ἱκέτευε, δωρήσασθαι εἰρήνην ταῖς ψυχαῖς ἡμῶν.
Ἀπόλυσις.

## ΕΝ ΤΩ ΜΕΓΑΛΩ ΕΣΠΕΡΙΝΩ

Εἰς τό, Κύριε ἐκέκραξα, ἱστῶμεν στίχους ς΄.
Ἦχος πλ. α΄. Χαίροις ἀσκητικῶν.
Χαίροις Ἀρχιερέων κανῶν, ὀρθοδοξίας ἀδιάσειστον ἔρεισμα, ὁ στῦλος τῆς Ἐκκλησίας, ὁ τῶν πιστῶν

στηριγμός, τὸ τῆς εὐσεβείας περιτείχισμα, ὁ νοῦς ὁ οὐράνιος, ὁ ἐπίγειος Ἄγγελος, ἡ μυροθήκη, τοῦ σεπτοῦ ἁγιάσματος, ὁ πολύφωτος· καὶ ἀνέσπερος ἥλιος, ὅρμος ὁ γαληνότατος, λιμὴν ὁ σωτήριος, τίμιον σκεῦος Κυρίου, θαυματουργὸς ἀξιάγαστος. Χριστὸν καταπέμψαι, ταῖς ψυχαῖς ἡμῶν δυσώπει, τὸ μέγα ἔλεος.

Χαίροις ἡ ἱερὰ κεφαλή, καὶ κατὰ πάντα τοῖς Ἀγγέλοις αἰδέσιμος, ἡ βρύσις τῶν ἰαμάτων, διαυγέστατη πηγή, θείων χαρισμάτων οὖσα ἔμπλεως, φωστὴρ ὁ πανθαύμαστος, καὶ ποιμὴν ὁ ἀκοίμητος, ὀρθοδοξίας, ἐπὶ πόαν τὸ ποίμνιον, ὁδηγήσας τε, καὶ ποιμάνας ἐν χάριτι, λύκους ὁ τροπωσάμενος, δεινοὺς αἱρετίζοντας, ὁ ἐν τῇ μάνδρα σκηνώσας, τῇ οὐρανίῳ Ἀχίλλιε. Χριστὸν καταπέμψαι, ταῖς ψυχαῖς ἡμῶν δυσώπει, τὸ μέγα ἔλεος.

Τάφον περικυκλοῦντες τὸν σόν, ἁγιασμοῦ παρεκτικὸν γνωριζόμενον, βοῶμεν ἐν κατανύξει· Ποιμὴν ἡμῶν ἀγαθέ, ἀοράτως μέσον ἡμῶν φάνηθι, πληρῶν τὰ αἰτήματα, τῶν πιστῶς προστρεχόντων σοι, καὶ θεραπεύων, τῶν ψυχῶν τὰ παθήματα, καὶ τὰ τραύματα, τῶν σωμάτων Ἀχιλλιε, ὅπως κατευοδούμενοι, πρεσβείαις σου Ἅγιε, λύσιν τυχεῖν ὀφληματων, ἀξιωθείημεν ἅπαντες, καὶ τῆς αἰωνίου, λυτρωθείημεν βασάνου, οἱ σὲ γεραίροντες.

Ἕτερα Προσόμοια. Ἦχος Β΄. Ποίοις εὐφημιῶν.

Ποίοις εὐφημιῶν ᾄσμασιν· ἀνυμνήσωμεν τὸν

Ἱεράρχην; τὸν ἐν τῇ Νικαίᾳ σαλπίσαντα, δογμάτων κῦρος τὸ αἰώνιον, τὸ σεπτὸν τοῦ Πνεύματος δοχεῖον, τὸν φάρον, τοὺς διαπλέοντας φωτίζοντα, τὸ ἄστρον, τῆς εὐσεβείας τὸ ἀνέσπερον, τὸν ποταμὸν τῆς σοφίας, τὸν κλεινὸν Ἀχίλλιον, ὅὅν ἀνέδειξεν ὁ Χριστός, ἐπίγειον Ἄγγελον, ὁ ἔχων τὸ μέγα ἔλεος.
Ποίοις ὑμνωδιῶν ἄνθεσι, στεφανώσωμεν τὸν Ἱεράρχην; τὸν καθηγεμόνα ὑπάρξαντα, τῆς ὀρθοδοξίας καὶ πρόμαχον, τὸν θερμὸν τῆς πίστεως προστάτην, τὴν λύραν, τὴν παναρμόνιον τοῦ Πνεύματος, τὴν γλῶσσαν, Εὐαγγελίου τὴν μελίῤῥυτον, τῆς εὐσεβείας τὸν στῦλον, τὴν πηγὴν τὴν βρύουσαν, τὰ ἰάματα τοῖς πιστοῖς, ψυχῆς τε καὶ σώματος, ·Ἀχίλλιον τὸν πανένδοξον.
Ποίοις οἱ εὐτελεῖς χείλεσιν, εὐφημήσωμεν τὸν Ἱεράρχην; τὸν τῆς Θεσσαλίας διδάσκαλον, καὶ τὸν τῆς Λαρίσης ἀδάμαντα, φίλον τε καὶ μύστην τῆς Τριάδος, τὸ μέγα, Ἀρχιερέων ἐγκαλλώπισμα, τὸν πράξει, καὶ θεωρία διαλάμποντα, τῆς Οἰκουμένης τὸ κλέος, Ἐκκλησίας δόξαν, τὸν θεράποντα τοῦ Χριστοῦ, τὸν μέγαν Ἀχίλλιον, τὸν τὴν κτίσιν καταλάμποντα.
Δόξα. Ἦχος πλ. β.
Τῶν θείων Πατέρων ὁ χορὸς ἐν τῇ Νικαέων πόλει συγκροτηθείς, καὶ Πνεύματι Ἁγίῳ συσκεψάμενος, τὴν Ἀρείου μανίαν ἐμφρόνως κατῄσχυνε. Τὸν γὰρ Υἱὸν τοῦ Θεοῦ ὁμοούσιον τῷ Πατρὶ δογματίσας, τὴν ὀρθόδοξον πίστιν ἐστερέωσε, καὶ τὴν δυσσεβῆ πλάνην κατήργησε. Τῶν παραδόσεων γὰρ τῶν Ἀποστολικῶν

φρουροὶ ὑπάρχοντες, καὶ τὴν ὀρθόδοξον πίστιν στηρίξαντες, σάλπιγγες ἐχρημάτισαν, ἀπηχήσασαι τοῦ Εὐαγγελίου τὰ διδάγματα. Μεθ᾽ ὧν σὲ Ἱεράρχα Ἀχίλλιε, ὡς ἕνα τῶν προμάχων καὶ ἐξέχοντα, ἡ Ἐκκλησία τοῦ Χριστοῦ τιμῶσα γεραίρει. Διὸ Πάτερ ἀξιάγαστε καὶ ἡμῖν τοῖς ἑορτάζουσι τὴν ἐτήσιον μνήμην σου, αἴτησαι δεόμεθα ἱλασμὸν ἁμαρτιῶν παρὰ Χριστοῦ καὶ τὸ μέγα ἔλεος.
Καὶ νῦν. Τῆς Ἑορτῆς.

Εἴσοδος. Τό, Φῶς ἐλαρόν. Τὸ Προκείμενον τῆς ἡμέρας. Καὶ τὰ Ἀναγνώσματα.

Παροιμιῶν τό Ἀνάγνωσμα.[Κεφ.10.7&3,13-16]
Μνήμη δικαίου μετ' ἐγκωμίων, καί εὐλογία Κυρίου ἐπί κεφαλήν αὐτοῦ. Μακάριος ἄνθρωπος, ὅς εὗρε σοφίαν, καί θνητός, ὅς εἶδε φρόνησιν. Κρεῖσσον γάρ αὐτήν ἐμπορεύεσθαι, ἤ χρυσίου καί ἀργυρίου θησαυρούς. Τιμιωτέρα δέ ἐστί λίθων πολυτελῶν, οὐκ ἀντιτάσσεται αὐτῇ οὐδέν πονηρόν, εὔγνωστός ἐστι πᾶσι τοῖς ἐγγίζουσιν αὐτήν, πᾶν δέ τίμιον οὐκ ἄξιον αὐτῆς ἐστιν. Ἐκ γάρ τοῦ στόματος αὐτῆς ἐκπορεύεται δικαιοσύνη, νόμον δέ καί ἔλεον ἐπί γλώσσης φορεῖ. Τοιγαροῦν ἀκούσατέ μου, ὦ τέκνα, σεμνά γάρ ἐρῶ, καί μακάριος ἄνθρωπος, ὅς τάς ἐμάς ὁδούς φυλάξει. Αἱ γάρ ἔξοδοί μου, ἔξοδοι ζωῆς, καί ἑτοιμάζεται θέλησις παρά Κυρίου. Διά τοῦτο παρακαλῶ ὑμᾶς καί προΐεμαι ἐμήν φωνήν υἱοῖς ἀνθρώπων. Ὅτι ἐγώ ἡ

Σοφία κατεσκεύασα βουλήν καί γνῶσιν καί ἔννοιαν, ἐγώ ἐπεκαλεσάμην. Ἐμή βουλή καί ἀσφάλεια, ἐμή φρόνησις, ἐμή δέ ἰσχύς. Ἐγώ τούς ἐμέ φιλοῦντας ἀγαπῶ, οἱ δέ ἐμέ ζητοῦντες εὑρήσουσι χάριν. Νοήσατε τοίνυν ἄκακοι πανουργίαν, οἱ δέ ἀπαίδευτοι ἔνθεσθε καρδίαν. Εἰσακούσατέ μου καί πάλιν, σεμνά γάρ ἐρῶ, καί ἀνοίγω ἀπό χειλέων ὀρθά. Ὅτι ἀλήθειαν μελετήσει ο λάρυγξ μου, ἐβδελυγμένα δέ ἐναντίον μού χείλη ψευδῆ. Μετά δικαιοσύνης πάντα τά ρήματα τοῦ στόματός μου, οὐδέν ἐν αυτοῖς σκολιόν, οὐδέ στραγγαλιῶδες, Πάντα εὐθέα ἐστί τοῖς νοοῦσι, καί ὀρθά τοῖς εὑρίσκουσι γνῶσιν. Διδάσκω γάρ ὑμῖν ἀληθῆ, ἵνα γένηται ἐν Κυρίῳ ἡ ἐλπίς ὑμῶν, καί πλησθήσεσθε Πνεύματος.

Παροιμιῶν τὸ Ἀνάγνωσμα.

Στόμα δικαίου ἀποστάζει σοφίαν, γλῶσσα δὲ ἀδίκου ἐξολεῖται. Χείλη ἀνδρῶν δικαίων ἐπίστανται χάριτας, στόμα δὲ ἀσεβῶν καταστραφήσεται. Ζυγοὶ δόλιοι, βδέλυγμα ἐνώπιον Κυρίου, στάθμιον δὲ δίκαιον, δεκτὸν αὐτῷ. Οὗ ἐὰν εἰσέλθῃ ὕβρις, ἐκεῖ καὶ ἀτιμία, στόμα δὲ σοφῶν μελέτα σοφίαν. Τελειότης εὐθέων ὁδηγήσει αὐτούς, καὶ ὑποσκελισμὸς ἀθετούντων προνομεύσει αὐτούς. Οὐκ ὠφελήσει ὑπάρχοντα ἐν ἡμέρα θυμοῦ, δικαιοσύνη δὲ᾽ ῥύεται ψυχὴν ἐκ θανάτου. Ἀποθανὼν δίκαιος, ἔλιπε μετάμελον, πρόχειρος δὲ γίνεται καὶ ἐπιχάρτος ἀσεβῶν ἀπώλεια. Δικαιοσύνη ἀμώμου ὀρθοτομεῖ ὁδούς, ἀσέβεια δὲ

περιπίπτει ἀδικίᾳ. Δικαιοσύνη ἀνδρῶν ὀρθῶν, ῥύεται αὐτούς, τῇ δὲ ἀπωλείᾳ ἑαυτὸν ἁλίσκονται παράνομοι. Τελευτήσαντος ἀνδρὸς δικαίου οὐκ ὄλλυται ἐλπίς, τὸ δὲ καύχημα τῶν ἀσεβῶν ὄλλυται. Δίκαιος ἐκ θήρας ἐκδύνει, ἀντ᾽ αὐτοῦ δὲ παραδίδοται ὁ ἀσεβής. Ἐν στόματι παρανόμων παγὶς πολίταις, αἴσθησις δὲ δικαίων εὔοδος. Ἐν ἀγαθοῖς δικαίων κατωρθωται πὀλις, καὶ ἐν ἀπωλείᾳ ἀσεβῶν ἀγαλλίαμα. Ἐν εὐλογία εὐθέων ὑψωθήσεται πόλις, στόμασι δὲ ἀσεβῶν κατασκαφήσεται. Μυκτηρίζει πολίτας ἐνδεὴς φρενῶν, ἀνὴρ δὲ φρόνιμος ἡσυχίαν ἄγει.

Σοφίας Σολομῶντος. [Κεφ. Δ', 7-15]

Δίκαιος, ἐὰν φθάσῃ τελευτῆσαι, ἐν ἀναπαύσει ἔσται. Γῆρας γὰρ τίμιον οὐ τὸ πολυχρόνιον οὐδὲ ἀριθμῷ ἐτῶν μεμέτρηται. Πολιὰ δέ ἐστι φρόνησις ἀνθρώποις καὶ ἡλικία γήρως βίος ἀκηλίδωτος. Εὐάρεστος τῷ Θεῷ γενόμενος ἠγαπήθη καὶ ζῶν μεταξὺ ἁμαρτωλῶν μετετέθη. Ἡρπάγη, μὴ κακία ἀλλάξῃ σύνεσιν αὐτοῦ ἢ δόλος ἀπατήσῃ ψυχὴν αὐτοῦ· βασκανία γὰρ φαυλότητος ἀμαυροῖ τὰ καλά, καὶ ρεμβασμὸς ἐπιθυμίας μεταλλεύει νοῦν ἄκακον. Τελειωθεὶς ἐν ὀλίγῳ ἐπλήρωσε χρόνους μακρούς· ἀρεστὴ γὰρ ἦν Κυρίῳ ἡ ψυχὴ αὐτοῦ· διὰ τοῦτο ἔσπευσεν ἐκ μέσου πονηρίας. Οἱ δὲ λαοὶ ἰδόντες καὶ μὴ νοήσαντες, μηδὲ θέντες ἐπὶ διανοίᾳ τὸ τοιοῦτον, ὅτι χάρις καὶ ἔλεος ἐν τοῖς ἐκλεκτοῖς αὐτοῦ καὶ ἐπισκοπὴ ἐντοῖς ὁσίοις αὐτοῦ.

Ἰδιόμελα τῆς Λιτῆς. Ἦχος α΄
Ἐνατενίσας ἀτενῶς τῷ ὄψει τῆς γνώσεως, καὶ κατοπτεύσας τῷ νοΐ τὸν τῆς σοφίας βυθόν, ταμεῖον τούτων ἐγένου, καὶ ταῖς σαῖς διδαχαῖς τὸν κόσμον κατεπλούτισας. Ἀκολουθήσας δὲ πιστῶς τὰ τοῦ Εὐαγγελίου διδάγματα, ἀνεδείχθης ὁ σοφὸς ποιμήν, καὶ τοῦ Ἀρχιποίμενος Χριστοῦ μιμητῆς. Ὃν Ἀχίλλιε, ἱκέτευε ὑπὲρ τῶν ψυχῶν ἡμῶν.
Ἦχος β΄.
Τὸν τῆς Λαρίσης ποιμένα καὶ τῆς Ἐκκλησίας ἀστέρα, τῆς ὀρθοδόξου πίστεως τὸν πρόμαχον, συνελθόντες εὐφημήσωμεν. Σήμερον γὰρ συγκαλεῖ ἡμᾶς ὁ Ἀχίλλιος εἰς ἑστίασιν καὶ χαρὰν πνευματικήν. Διὸ καὶ ἡμεῖς ἐν πίστει τούτῳ προσείπωμεν λεγοντες: Χαίροις ὁ καθαιρέτης τῆς πλάνης, καὶ τῆς ὀρθοδοξίας ὁ στῦλος· χαίροις τῶν Λαρισαίων τὸ κλέος, καὶ Θεσσαλίας τὸ καύχημα. Μετάδος ἡμῖν τῶν χαρίτων σου, εὐλογῶν ἡμᾶς, Πάτερ παμμακάριστε.
Ἦχος γ΄.
Τῆς ἀνωτάτης φιλοσοφίας μύστης γενόμενος, ἔζης ὑπὲρ τὰ δρώμενα, οὐρανῶν πολίτης καὶ Ἀγγέλων συνόμιλος. Ἔσοπτρον δὲ ἀκηλίδωτον ἀνεδείχθης, ἀνακλῶν τὸ φῶς τὸ ἀνέσπερον, τὰς ψυχὰς τῶν πιστῶν φαιδρύνων καὶ καταλαμπῶν. Διὸ καὶ τέλους ἐτυχες τοῦ μακαρίου παρὰ Χριστῷ τῷ Θεῷ, παρ᾽ Ὧ πρεσβεύεις ἀδιαλείπτως ὑπὲρ ἡμῶν Ἀχῖλλιε.

Ἦχος δ΄.
Ἐθαυμάστωσεν ὁ Κύριος σὲ τὸν σοφὸν Ἱεράρχην, καὶ διὰ σοῦ ἐν θαύματι ὡμίλησεν ἐν τῇ Συνόδῳ, στηρίξας τὴν Ἐκκλησίαν αὐτοῦ. Ἀλλὰ καὶ τὴν θήκην τῶν λειψάνων σου, πηγὴν θαυμάτων ἀνέδειξε, παρέχουσαν τοῖς πιστοῖς τὰ ἰάματα. Τοῦτον οὖν ἐκδυσώπει εἰρήνην τῷ κόσμῳ δωρήσασθαι, καὶ ταῖς ψυχαῖς ἡμῶν τὸ μέγα ἔλεος.
Δόξα. Ἦχος πλ. α΄.
Τὸν θεῖον Ἀχίλλιον, τοῦ Χριστοῦ τὸν μαθητήν, συνελθόντες ἀνυμνήσωμεν. Ἐν τῇ Συνόδῳ γὰρ τῆς Νικαίας πάνοπλος ἐμφανισθείς, Ἀρείου τὸ βλάσφημον καθεῖλε καὶ τὴν ὀρθόδοξον πίστιν ἐκράτυνε. Τοῦ χοροῦ τῶν Πατέρων μετασχὼν κατηύθυνε τὸν ἀγῶνα, στεῤῥὸς ἀναδειχθεὶς μαχητής. Τοῦτον ὁ Χριστὸς ἐστεφάνωσε, πολίτην οὐράνιον ἀναδείξας καὶ πρεσβευτὴν ὑπὲρ ἡμῶν πρὸς Αὐτόν, τῶν ἐν πίστει τελούντων τὴν ἀεισέβαστον μνήμην αὐτοῦ.
Καὶ νῦν. Τῆς ἑορτῆς.

Εἰς τὸν Στίχον, Προσόμοια. Ἦχος δ΄. Ὡς γενναῖον ἐν Μάρτυσιν.
Τῇ τοῦ Πνεύματος χάριτι, αὐγασθεὶς τὴν διάνοιαν, ἐν Συνόδῳ ἔλαμψας ὥσπερ ἥλιος, καὶ τοῦ Ἀρείου κατέῤῥιψας, τὸ βλάσφημον κήρυγμα, ἀντιτάξας σθεναρῶς, τὴν ὀρθὴν δόξαν Ἅγιε, ὁμοούσιον, τὸν Πατέρα καὶ Λόγον δογματίσας· ὅθεν πίστει σὲ ὑμνοῦμεν, Πάτερ Πατέρων Ἀχίλλιε.

Στίχ. Τίμιος ἐναντίον Κυρίου ὁ θάνατος τοῦ Ὁσίου αὐτοῦ.
Ἐν σημείοις καὶ τέρασι, ἐν διδάγμασιν ἔλαμψας, τοῦ Θεοῦ κυρώσαντος τοὺς ἀγῶνάς σου, οὓς δι᾽ Αὐτὸν διεξήγαγες, Υἱὸν ὁμοούσιον, δογματίζων τῷ Πατρί, προσευχῇ σου δὲ ἔλαιον, πέτρα ἔβλυσε, τῶν πιστῶν κατεφραῖνον τὰς καρδίας, κατακλύζον δὲ Ἀρείου, τὸ δυσσεβέστατον κήρυγμα.
Στίχ. Οἱ Ἱερεῖς σου Κύριε...
Θεσσαλίας τὸ καύχημα, καὶ Λαρίσης ἀγλάϊσμα, τῶν δογμάτων φύλαξ τε καὶ διδάσκαλος, ὀρθοδοξίας ὑπέρμαχος, ὁ πύργος ὁ ἄσειστος, Ἐκκλησίας τοῦ Χριστοῦ, τὸ τῆς πίστεως ἔρεισμα, ὁ Ἀχίλλιος, ἀνεδείχθη ἐν ἔργοις καὶ ἐν λόγοις, οὗ τὴν μνήμην εὐσεβαστως, ὕμνοις καὶ πόθῳ γεραίρομεν.
Δόξα. Ἦχος πλ. δ΄.
Δεῦτε πάντες οἱ πιστοὶ τὸν τῆς Λαρίσης Ἱεράρχην ἐν ᾠδαῖς πνευματικαῖς ἀνυμνήσωμεν. Αὐτὸς γάρ, ὡς ποιμὴν ἀληθινός, τὸν τῆς ἡμέρας ἐβάστασε καύσωνα, καὶ τὸν παγετὸν ὑπήνεγκε τῆς νυκτός, μιμητὴς τοῦ Δεσπότου Χριστοῦ γενόμενος. Ὃν ἐν τῇ Νικαίᾳ, καὶ ἐν τῷ θείῳ συλλόγῳ ὁμοούσιον τῷ Πατρὶ ἀνακηρύξας, τὴν Ἐκκλησίαν ἐστερέωσε καὶ τὸ ταύτης πλήρωμα εἰς σωτηρίους νομὰς ὡδήγησε. Τούτῳ νῦν εὐλαβῶς προσείπωμεν᾽ Πατέρων ἀγλάϊσμα Ἀχίλλιε πάνσοφέ, φύλαττε τὴν ποίμνην σου ἀπὸ πάσης προσβολῆς ἐναντίας, καὶ ἡμᾶς τοὺς πίστει τελοῦντας τὴν ἀεισέβαστον μνήμην σου.

Καὶ νῦν. Τῆς Ἑορτῆς.
Τὸ Ἀπολυτίκιον ἴδε ἐν τῷ μικρῷ Ἑσπερινω.

## ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ

Μετὰ τὴν α΄ στιχολογίαν, Κάθισμα. Ἦχος δ΄. Ταχὺ προκατάλαβε.
Ἡ μνήμη σου σήμερον, ὥσπερ ἡλίου αὐγή, φωτίζει τὰ πέρατα, τῆς οἰκουμένης σοφέ, Ἀχίλλιε ἔνδοξε· σὺ γὰρ τῆς Θεσσαλίας, καὶ Λαρίσης τὸ κλέος, γέγονας καὶ ὑπάρχεις, καὶ πιστῶν ὁ προστάτης· διὸ ὑπὲρ αὐτῶν πρὸς Θεόν, πρέσβευε δεόμεθα.
Δόξα. Καὶ νῦν. Τῆς Ἑορτῆς.

Μετὰ τὴν β΄ στιχολογίαν, Κάθισμα. Ἦχος δ΄. Ὁ ὑψωθείς.
Ἡ ἑορτάζουσα τὴν μνήμην σου πόλις, καὶ θησαυρὸν σὲ κεκτημένη παμμάκαρ, εὐφραινομένη σήμερον φαιδρύνεται λαμπρῶς, μνήμην τῶν καμάτων σου, εὐγνωμόνως δὲ δόξαν, πόθῳ ἀπονεμοῦσα, καὶ πιστῶς ἐκβοῶσα· Ἐκ τῶν κινδύνων μὲ καὶ πειρασμῶν, ῥῦσαι λιταῖς σοῦ, πρὸς Κύριον Ἀχίλλιε.
Δόξα. Καὶ νῦν. Τῆς Ἑορτῆς.

Μετὰ τὸν Πολυέλεον, Κάθισμα. Ἦχος δ΄. Κατεπλάγη Ἰωσήφ.
Ἐκ νεότητος Θεόν, ἐπιποθήσας ἐκ ψυχῆς, πολιτεἰοᾳ δὲ σεμνῇ, διαβιώσας ἀγαθέ, καὶ τὰ τερπνὰ τοῦ κόσμου

σκύβαλα ἡγησάμενος, ἐπ᾽ ὄρους ἀρετῶν ἀναβέβηκας, τῷ πνεύματι Θεῷ συγγενόμενος, καὶ παρ’ Αὐτῷ ἱστάμενος πρεσβεύεις ὑπὲρ εἰρήνης τοῦ κόσμου, φωτίζων πάντων, τὰς διανοίας, τῶν πιστῶς ἀνυμνούντων σέ.
Δόξα. Καὶ νῦν. Τῆς Ἑορτῆς.

Ἀναβαθμοί. Ἐκ νεότητός μου.
Προκείμενον. Τίμιος ἐναντίον Κυρίου ὁ θάνατος τοῦ Ὁσίου αὐτοῦ. Στίχ. Τὶ ἀνταποδώσωμεν τῷ Κυρίῳ.
Εὐαγγέλιον εἰς Ἱεράρχην.
Εἶτα ὁ Ν΄.
Δόξα. Ταῖς τοῦ Ἱεράρχου...
Καὶ νῦν. Ταῖς τῆς Θεοτόκου...
Τό ιδιόμελον. Τὸ δεύτερον τοιοῦτο τῆς Λιτῆς.

Οἱ δύο Κανόνες, ὁ πρῶτος ποίημα Ἀντωνίου Ἀρχιεπισκόπου Λαρίσης, καὶ ὁ δεύτερος ποίημα Ἰωσήφ τοῦ Ὑμνογράφου.

ᾨδὴ α΄. Ἦχος α΄. Ἀναστάσεως ἡμέρα.
Πανηγύρεως ἡμέρα, εὐφρανθῶμεν λαοί· σήμερον γὰρ ἡ μνήμη, τοῦ Ἀχιλλίου τοὺς πιστούς, κατεφαίδρυνεν ἰδού, καλοῦσα ἡμᾶς, ὑψηλῷ κηρύγματι, πρὸς πανήγυριν ἅπαντας.
Καθαρθεὶς νοὸς τὰς ὄψεις, ἐθεάσω καλῶς, φῶς τὸ λαμπρῶς φωτίζον, καὶ πάντα ἄνθρωπον ἀεί, ὁδηγοὺν πρὸς τὸν Χριστόν, τὸν ὄντως Θεόν, ὑφ᾽ οὗπερ

ὡδήγησαι, πρὸς νομὴν τὴν οὐράνιον.
Οὐρανοὶ μὲν ἐπαξίως, εὐφραινέσθωσαν, γῆ χορευέτω πᾶσα, τὴν σὴν πανήγυριν πιστῶς, ἑορτάζουσα χαρά, παμμάκαρ σοφέ, Τριάδος ὑπέρμαχε, Λαρισαίων τὸ καύχημα.

Ὁ δεύτερος Κανών, οὗ ἡ ἀκροστιχίς:
Ἀχιλλίου μὲ λιταῖς Σῶτερ σκέπε. Ἰωσήφ.
ᾨδὴ ἅ΄. Ἦχος πλ. δ΄. Ἁρματηλάτην Φαραώ.
Ἀνατολῆς τῶν ἀρετῶν γενόμενος, ἥλιος ἄδυτος, Ἱερουργὲ Πάτερ, τοῖς νῦν πρὸς τὴν σκέπην σου, ἐν πίστει καταφεύγουσι, φωτισμὸν σωτηρίας, μετάδος ταῖς σαῖς δεήσεσι, λύων τὴν ἀχλὺν τῶν παθῶν ἡμῶν.
Χρῖσμα σεπτὸν καὶ ἱερὸν δεξάμενος, ὦ Ἱερώτατε, τήν τοῦ Χριστοῦ ποίμνην, πρὸς νομὴν σωτήριον, Ἀχίλλιε ὡδήγησας, ἣν καὶ νῦν περιέπειν, μὴ διαλίπῃς θεσπέσιε, πρέσβυν σὲ πλουτοῦσαν ἀκοίμητον.
Ἴαμα πᾶσιν ἡ τιμία θήκη σου, ἀναπηγάζουσα, θαυματουργὲ Πάτερ, παύει τῶν ψυχῶν ἡμῶν, τὰ πάθη τὰ δυσίατα, καὶ ὀδύνας κουφίζει, τὰς τῶν σωμάτων Ἀχίλλιε, τῶν εἰλικρινῶς προσιόντων σοι.
Λύσιν δεινῶν ἀῤῥωστημάτων Ἅγιε, ἡμῖν πρυτάνευσον, πολυειδεὶς πόνους, ἐπιόντας κούφισον, ἐπερχομένων θλίψεων, καὶ μυρίων σκανδάλων, ἀτρώτους πάντας συντήρησον, σοῦ ταῖς προσευχαῖς πρὸς τὸν Κύριον.
Θεοτοκίον.
Λάμψον μοι φῶς Θεογεννῆτορ γνώσεως, ἀεὶ τυφλώττοντι, καὶ τὰς ὀρθὰς τρίβους, ὅλως μὴ

βαδίζοντι, μηδὲ τὸ θεῖον θέλημα, ἐκτελεῖν βουλομένῳ, ὅπως σῳζόμενος πάντοτε, πίστει κατὰ χρέος δοξάζω σέ.

ᾨδὴ γ´. Δεῦτε πόμα.

Δεῦτε πόμα πίωμεν καινόν, ἐκ πηγῆς νῦν βλυζούσης τοῦ Ἀρχιποίμενος, τοῦ Ἀχιλλίου πιστοί, τοῦ πᾶσι κηρύξαντος λαμπρῶς, Χριστοῦ τὴν Ἀνάστασιν.
Νυν πάντα πληροῦνται χαρμονῆς, ὁρατά τε ὁμοῦ καὶ τὰ ἀόρατα, . συνεορτάζει φαιδρῶς, ὁ κόσμος Ἀχίλλιε ἡμῖν, τὴν μνήμην σου σήμερον.
Χθὲς συνεσταυροῦτο τῷ Χριστῷ, τῇ ἀσκήσει Ἀχίλλιος ὁ πανάριστος, συνανηγέρθη λοιπόν, σήμερον αὐτῷ πνευματικῶς, μεθ᾽ οὗ συνευφραίνεται.

Ἄλλος. Ὁ στερεώσας κατ᾽ ἀρχάς.

Ἱερολόγος ἱερός, ἐν πίστει γεγενημένος, ἀπεμείωσας Ἀρείου τὴν πλάνην, συμπληρῶν τὸν ἀριθμόν, τῶν ἐν Νικαίᾳ πρότερον, Ἱερουργῶν Πατέρων, παμμάκαρ Πάτερ Ἀχίλλιε.
Ὁλολάμπης ὥσπερ ἀστήρ, ἀνατολαῖς τῶν θαυμάτων, καταυγάσας τὴν ὑφήλιον πᾶσαν, τῶν παθῶν ἡμῶν σοφέ, τὸν σκοτασμὸν ἀπέλασον, καὶ πειρασμῶν ὁμίχλην, ταῖς σαῖς εὐχαῖς διασκέδασον.
Ὑπὸ Κυρίου ἰατρός, ἡμῖν ἐδόθης πηγάζων, παραδόξως ἰαμάτων τὴν χάριν, πάθη παύων τὰ δεινά, τὰ τῶν ψυχῶν ἡμῶν σοφέ, καὶ τῶν σωμάτων ὅθεν, μετ᾽ εὐφροσύνης τιμῶμέν σέ.

Θεοτοκίον.
Μεμυημένος ὁ χορός, τῶν Προφητῶν θεοσόφως, τὰ σὰ θαύματα ἀεὶ ὦ Θεοτόκε, ἐν συμβόλοις ἱεροῖς, ταῦτα προδιετύπωσεν, ὧν τὰς ἐκβάσεις πάντων, νῦν καθορῶντες ὑμνοῦμεν σέ.

Κάθισμα. Ἦχος α΄. Τὸν τάφον σου Σωτήρ.
Ἡ Λάρισα τὰ σά, μεγαλεῖα κηρύττει, θαυμάζει δὲ τὴν σήν, διδαχὴν Θεσσαλία, σεμνύνεται χαίρουσα, τῶν Πατέρων ἡ Σύνοδος, κόσμον ἔχει δέ, ἣ Ἐκκλησία σὲ Πάτερ, ἡμεῖς δ' ἅπαντες, θερμὸν προστάτην καὶ ῥύστην, οἱ πόθῳ τιμῶντες σέ.
Ἕτερον. Ὅμοιον.
Ἡ θεία σου σορός, , ὦ Ἀχίλλιε Πάτερ, ὡς ἄλλη Σιλωὰμ κολυμβήθρα ἐδείχθη, πηγὴν ἁγιάσματος παραδόξως ἐκβλύζουσα· οὗ μετέχοντες οἱ προσιόντες ἐν πίατει χάριν ἄφθονον, καὶ ψυχικὴν σωτηρίαν, εὐχαῖς σου λαμβάνομεν.
Καὶ νῦν. Τῆς ἑορτῆς.

ᾨδὴ δ΄. Ἐπὶ τῆς θείας φυλακῆς.
Ἐπὶ τῆς θείας φυλακῆς, τείνας τὸ ὄμμα τῆς ψυχῆς, εἶδες ὃν ἐπόθεις Δεσπότην, καθαρῶς ἰθύνοντα, πρὸς τρῖβον τὴν σωτήριον· καὶ βίον εἰς ἀπέραντον πάντας, τῇ πίστει τούτῳ λατρεύοντας Ἀχίλλιε.
Ἄρσεν μὲν ὡς διανοιξαν, τὴν παρθενεύουσαν νηδύν, πέφηνε Χριστός, ἀλλὰ σὺ δέ, κατ' ἐχθρῶν ἠρίστευσας, τῶν νοητῶν καὶ γέγονας, ἄμωμος ἐν ὁδοῖς ταῖς

Ἐκείνου, τὸν βίον θεοφίλως, ζήσας Ἀχίλλιε.
Ὡς ἐνιαύσιος ἡμῖν, ἡ σὴ φωσφόρος ἑορτή, ἦλθεν ὦ Ἀχίλλιε κύκλος, καὶ ὡς φῶς ἀνέτειλεν, εὐφραίνουσα τὰ τέκνα σου, καθ᾽ ἣν τῶν Λαρισαίων ὁ δῆμος, συνεορτάζει φαιδρῶς, τὰ σὰ μνημόσυνα.
Ὁ Θεοπάτωρ μὲν Δαβίδ, πρὸ τῆς σκιώδους κιβωτοῦ, ἥλλατο σκιρτῶν, ὁ λαὸς δέ, τῆς Λαρίσης σήμερον, τὴν σὴν κυκλοῦντες λάρνακα, αἴνεσιν ἀναπέμπει ἐνθέως, τῷ ἀναστᾶντι Χριστῷ, Πάτερ Ἀχίλλιε.

Ἄλλος. Σύ μου ἰσχύς, Κύριε.
Εὐεργετεῖν, τοὺς ὁμοφύλους ἑλόμενος, Ποιμενάρχης, θεῖος ἐχρημάτισας, ποιμαντικῇ ῥάβδῳ σου σοφέ, Ἄρειον ὡς λύκον, ἀραβικὸν ἀπωσάμενος, κακῶς ἀποτεμόντα, τοῦ Γεννήτορος Λόγον, ἀξιάγαστε Πάτερ Ἀχίλλιε.
Τοὺς θολερούς, Πάτερ χειμάῤῥους ἐξήρανας, τῆς κακίας, ὕδωρ τὸ ἁλλόμενον, μάκαρ κτησάμενος εἰς ζωήν, νῦν δὲ μετὰ τέλος, ἐκβλύζων θεία ἰάματα, τὰς ἐπαναβλυζούσας, τῶν παθῶν ἐπηρείας, ἀποπαύεις εἰς δόξαν Θεοῦ ἡμῶν.
Ἄλλην ἡμῖν, σὴν κιβωτὸν ἁγιάσματος, τὴν τιμίαν θήκην τῶν λειψάνων σου, Πάτερ σοφὲ ἔλιπες εἰς γῆν, ἣν περικυκλοῦντες, πηγὴν θαυμάτων ἀέναον, πληρούμεθα ἄῤῥητου, εὐωδίας τιμῶντες, σὸν ἰσάγγελον βίον Ἀχίλλιε.

Θεοτοκίον.
Ἱκετικῶς, ἀναβοῶμεν σοι Ἄχραντε, ἐπηρείας, πάσης ἡμᾶς λύτρωσαι, τῶν νοητῶν καὶ τῶν ὁρατῶν, ἐχθρῶν ἐκζητούντων, κακοποιήσαι τοὺς δούλους σου, τοὺς εἰς σὲ τιθεμένους, ἐκ ψυχῆς τὰς ἐλπίδας, τῶν ἀνθρώπων βεβαία ἀντίληψις.

ᾨδὴ ε΄. Ὀρθρίσωμεν ὄρθρου βαθέος.
Ὀρθρίζομεν πάντες προθύμως, καὶ ἀντὶ μύρου τοὺς ὕμνους, σοι πλέκομεν Ἱεράρχα, καὶ περιπτυσσόμεθα, σοῦ τὴν τιμίαν λάρνακα, ἁγιασμὸν πορίζόμενοι.
Προσέλθωμεν λαμπαδηφόροι, τοῦ Ἀχιλλίου τῷ τάφῳ, φιλέορτοι πόθου, συνεορτάσωμεν, ταῖς τῶν Ἀγγέλων τάξεσι, τοῦτον τιμῶντες ἐν ᾄσμασι.
Τὴν ἄμετρον κηδεμονίαν, ὑπὲρ ἡμῶν τῶν σῶν δούλων, Ἀχίλλιε καὶ νῦν δεῖξον, ὡς Πατὴρ φιλόστοργος, τοῦ ἐκ νεκρῶν ἐκλάμψαντος, φιλανθρωπίαν μιμούμενος.

Ἄλλος. Ἵνα τὶ μὲ ἀπώσω.
Συντονίᾳ τοῦ Θείου Ὅσιε κηρύγματος ψυχὰς ἐζώγρησας, πεπαγιδευμένας, ὑπὸ τοῦ ἀλλοτρίου πανεύφημε, καὶ Θεῷ προσήξας. Ὃν ἐκδυσώπει αἰωνίου, κατακρίσεως ἡμᾶς λυτρώσασθαι.
Λαμπροτάτου σου βίου, φέγγει σκοτεινόμορφοι δαίμονες ἔφυγον, ὧν τῆς κακουργίας, τὸν Θεὸν ἱλεούμενος λύτρωσαι, τὴν μικράν σου ποίμνην, τὴν ἐν ἡμέρα καὶ νυκτὶ σέ, βοηθὸν ἐκζητούσαν Ἀχίλλιε.
Ἰοβόλον κακίαν, τοῦ παραφρονήσαντος Ἀρείου

ὤλεσας, τοῦ Πατρὸς τὸν Λόγον, ὁμοούσιον Πάτερ Ἀχίλλιε, ἐκδιδάξας σέβειν. Ὃν ἱλεούμενος μὴ παύσῃ, συντηρεῖσθαι τὴν ποίμνην σου Ἅγιε.
Θεοτοκίον.
Τὸν ἀχώρητον Λόγον, ἄνθρωπον γενόμενον ἐν σοὶ ἐχώρησας. Ὃν ἀεὶ δυσώπει, ὡς Υἱὸν σου Παρθένε καὶ Κύριον, πάσης ἐναντίας, ἐπιβουλῆς νῦν ἀπαλλάξαι, τοὺς σοὺς δούλους ἁγνὴ θεονύμφευτε.

ᾨδὴ ϛ΄. Κατῆλθες, ἐν τοῖς κατωτάτοις.
Κατῆλθες, ὡς ἥλιος ἄλλος ἡμῖν, ἐξ ἑῴας πρὸς δυσμὰς Ἱεράρχα, φωτίζων διδασκαλίαις ταῖς σαῖς, καὶ ἐθέωσας, τοὺς τῆς πλάνης σκοτασμοῦ, κρατουμένους ἀλόγους.
Φυλάξας, τὴν πίστιν τὴν θείαν καλῶς, θεωρὸς τῶν ἀποῤῥήτων γενέσθαι, ἠξίωσαι μυστηρίων Χριστοῦ, καὶ ὡς δόκιμος, ἐδοξάσθης ἀληθῶς, ἐν Πατέρων συνόδῳ.
Τὴν ποίμνην, σοῦ φύλαττε Σῶτερ Χριστέ, ἐξ ἐχθρῶν πολεμίων ὠμοτάτως, χορούντων κατὰ τῶν δούλων σοῦ, παρακλήσεσιν, Ἀχιλλίου τοῦ σοφοῦ, καὶ τῶν θείων Πατέρων.

Ἄλλος. Ἱλάσθητί μοι Σωτήρ.
Ἀείφωτος τοῖς πιστοῖς, πυρσὸς ἐδείχθης Ἀχίλλιε, πελάγους τῶν δυσχερῶν, τοῦ βίου καὶ κλύδωνος, πάντας ἐκλυτρούμενος, πρὸς ζωῆς λιμένα· διὰ τοῦτο σὲ γεραίρομεν.
Ἰάτρευσόν μου τὸν νοῦν, πληγέντα ταῖς παραβάσεσι,

θεράπευσον τὴν ψυχήν, πολλὰ ἁμαρτάνουσαν, τοῦ σώματος ἴασαι, τὰς ὀδύνας Πάτερ, δυσωπῶν τὸν Ὑπεράγαθον.
Συνόδου μέσον σοφέ, Πατέρων θείων ἐνήστραψας, μεθ᾽ ὧν πρεσβείαν ποίου, εὑρεῖν ἡμᾶς ἔλεος, ὅταν μέλλῃ Κύριος, ἐπὶ θρόνου δόξης, καθεσθεὶς κρίναι τὰ σύμπαντα.
Θεοτοκίον.
Συντήρησόν μου τὸν νοῦν, ἐν ταπεινώσει Πανάμωμε, ταῖς μεθοδίαις ἀεί, τοῦ πλάνου τρεπόμενον, καὶ δελεαζόμενον, καὶ τῇ παραβάσει, ἑκουσίως ὑποκύπτοντα.

Κοντάκιον. Τὴν Ὑπερμάχῳ.
Τῆς Θεσσαλίας τὸν ἀστέρα τὸν ὑπέρλαμπρον, τῶν Λαρισαίων τὸν Ποιμένα τὸν ἀνύστακτον, κατὰ χρέος εὐφημήσωμεν ἐκβοῶντες· Παῤῥησίαν κεκτημένος πρὸς τὸν Κύριον, ἐκ παντὸς ἡμᾶς κινδύνου ἐλευθέρωσον, ἵνα κράζωμεν Χαίροις Πάτερ Ἀχίλλιε.

Ὁ Οἶκος.
Ἄγγελος ἐκ τῶν τρόπων Ἱεράρχα ἐφάνης, καὶ τάγμασι τοῖς τούτων ἐγνώσθης, καὶ σὺν τοῖς Ἀσωμάτων χοροῖς λειτουργῶν τῷ θρόνῳ τοῦ Χριστοῦ Ἅγιε, ἀκούεις παρ᾽ ἡμῶν τῶν σῶν δούλων ταύτα: Χαῖρε τῆς Τριάδος ἡ σάλπιγξ ἡ εὔηχος· Χαῖρε τῆς Μονάδος ἡδύφωνον ὄργανον· Χαῖρε ὕψος δυσκατάληκτον τῶν δογμάτων τῶν σεπτῶν· χαῖρε βάθος δυσερμήνευοτν νοερῶν

ἐργασιῶν· Χαῖρε ὅτι Ἀρείου τᾶς ἐπάρσεις καθεῖλες· Χαῖρε ὅτι τᾶς τούτου μυθουργίας παρεῖδες· Χαῖρε ἀστὴρ Ἑλλάδος ὑπέρλαμπρος· Χαῖρε Ποιμὴν Λαρίσης ὁ ἄκακος· Χαῖρ επροστάτης ὁ ἀκοίμητος ταύτης· Χαῖρε δι᾽ οὗ τῷ Θεῷ οἰκειοῦται·
Χαίροις Πάτερ Ἀχίλλιε.

Συναξάριον.
Τῇ ΙΕ᾽ τοῦ ἀότου μηνός, Μνήμη τοῦ ἐν Ἁγίοις Πατρὸς ἡμῶν Ἀχιλλίου, Ἀρχιεπισκόπου Λαρίσης, τοῦ θαυματουργοῦ.
Στίχοι.
Λαλεῖ Λάρισα σᾶς ἀριστείας ξένας, Μνήμην Ἔχουσα καὶ θανόντος σοῦ Πάτερ.

ᾨδὴ Ζ΄. Ὁ Παῖδας.
Ὁ Παῖδας ἐκ καμίνου ῥυσάμενος, Ἀχίλλιε ἔνδοξε, ῥύεται καὶ σέ, τῆς προσπαθείας τῶν κακῶν, καὶ ἐκ πάσης δεινῆς περιστάσεως, ὁ μόνος εὐλογητὸς τῶν Πατέρων, Θεὸς καὶ ὑπερένδοξος.
Γυναῖκες μετὰ δέους θεόφρονες, ἀθροίσθητε σήμερον, καὶ τὴν ἱερὰν, ἐναγκαλίσασθε σορόν, Ἀχιλλίου πιστῶς ἀσπαζόμεναι, βοωσαι: Ευλογητος τῶν Πατέρων, Θεὸς καὶ ὑπερένδοξος.
Ὡς ὄντως ἱερὰ καὶ πανέορτος, αὕτη ἡ ὑπέρλαμπρος, μνήμη σου σοφέ, καταφωτίζουσα πιστούς, καὶ πρὸς λῆξιν ἡμᾶς διεγειροῦσα, τὴν θείαν Ἀχίλλιε ἧς εὐχαῖς σου, τυχεῖν ἀξιωθείημεν.

Ἄλλος. Θεοῦ συγκατάβασιν.
Ὡς στῦλος ὁλόφωτος, καὶ ὡς νεφέλη ἐπισκιάζουσα, τοῦ λαοῦ προηγήσω, τοῦ νέου Πάτερ δεινῶν αἱρέσεων, τοῦτον βοῶντα φύλαττε ἀποίμαντον, εὐλογητὸς ὁ Θεός, ὁ τῶν Πατέρων ἡμῶν.
Τὸν νοῦν πρὸς τὴν ἄῤῥητον, ἐρείσας ὅλως σοφίαν πάνσοφε, προσβολαῖς τῶν δαιμόνων, ἑδραῖος ὤφθης, ὧν τῆς ἐνέδρας ἡμᾶς, ἀπείρους Πάτερ ἀπέργασαι ψαλλοντας: Ευλογητος ὁ Θεός, ὁ τῶν Πατέρων ἡμῶν.
Ἐν ἔτεσι πλείοσι τῷ τάφῳ Πάτερ συγκαλυπτόμενος, φανερούσαι πλουσίαις, φωτοχυσίαις καθάπερ ἥλιος, θείων θαυμάτων φωτίζων τὰ πρόσωπα, καὶ τὰς καρδίας ἡμῶν, τῶν εὐφημούντων σέ.
Θεοτοκίον.
Ῥυσθῆναι τοὺς δούλους σου, πειρατηρίων πάντων τοῦ ὄφεως, καὶ σκανδάλων τοῦ βίου, καὶ ἁμαρτίας καὶ περιστάσεως, Χριστὸν δυσώπει τὸν μόνον Θεὸν ἡμῶν, εὐλογημένη Ἁγνή, ὡς προστασία ἡμῶν.

ᾨδή. η΄. Αὕτη ἢ κλητή.
Αὕτη ἢ κλητὴ καὶ ἁγία ἡμέρα, καθ᾽ ἢν συνεορτάζει, ἡ τοῦ Χριστοῦ Ἐκκλησία, ἐν ψαλμοῖς καὶ ᾠδαῖς Ἀχιλλίου τὴν ἔνδοξον κοίμησιν, ἐν ᾗ εὐλογοῦμεν, Χριστὸν εἰς τοὺς αἰῶνας.
Δεῦτε τῶν πιστῶν ἡ πληθὺς εὐφρανθῶμεν, τῆς θείας εὐωδίας, τῶν σεβασμίων Λειψάνων, τοῦ θεοφόρου Πατρός, Ἀχιλλίου σεπτῶς ἐμφορούμενοι, Χριστὸν δ' εὐλογουντες, εἰς πάντας τοὺς αἰῶνας.

Ἆρον κύκλῳ τοὺς ὀφθαλμούς σου Πάτερ, καὶ ἴδε παρεστῶτα, μετ᾽ εὐλαβείας τὰ τέκνα σου, ἐν φωναῖς ψαλμικαῖς, τὸν Θεὸν ἀνυμνοῦντα καὶ λέγοντα· Σὲ Τριὰς ὑμνοῦμεν, εἰς πάντας τοὺς αἰῶνας.

Τριαδικόν.

Πάτερ Παντοκράτορ καὶ Λόγε καὶ Πνεῦμα, ἡ ἄναρχος οὐσία, καὶ ἀμέριστος φύσις, ἀκατάληπτε, καὶ τρισάγιε, ἡμᾶς πάντας φύλαξον, ταῖς τοῦ Ἀχιλλίου, πρεσβείαις εὐπροσδέκτοις.

Ἄλλος. Ἑπταπλασίως κάμινον.

Συνασπισμὸν διέλυσας, ἀθετούντων Πατὴρ ἡμῶν, τὸν Μονογενῆ ὁμοφυῆ τυγχάνοντα, ἀνάρχου Γεννήτορος, καὶ σὺν Πατράσι θείοις ἡμῶν, σύμβολον τὸ θεῖον ἱερῶς ἐγχαράττεις, φωτίζων τὰς καρδίας, τῶν πιστῶς μελωδούντων, καὶ εὐφημολογούντων, Ἀχίλλιε σου μνήμην.

Κατὰ παθῶν τοῦ σώματος, ἱερῶς ἐβασίλευσας, καὶ Ἱερωσύνης φωτισμὸν ἀπείληφας, λαοὺς καθωδήγησας, εἰς σωτηρίαν Ὅσιε, θαύμασι τὰς τούτων βεβαιώσας καρδίας, καὶ δόγμασιν ἐνθέοις, θεωρὲ τῶν ἀῤῥήτων, φωστὴρ τῆς Ἐκκλησίας, παμμάκαρ Ἱεράρχα.

Ἐν ἱερεύσιν ἄριστος, ἐν ποιμέσι πανθαύμαστος, καὶ θαυματουργὸς ἀναδειχθεὶς Ἀχίλλιε, τόν σε θαυμαστώσαντα, ὡς ἀγαθὸν ἱκέτευε, ἐν ἡμῖν πλουσίως θαυμαστῶσαι τὰ τούτου, ἐλέη μελωδούσιν, Ἱερεῖς εὐλογεῖτε, λαὸς ὑπερυψοῦτε, Χριστὸν εἰς τοὺς αἰῶνας.

Πλημμελημάτων ἄφεσιν, καὶ τοῦ βίου διόρθωσιν, αἴτησαι ἡμῖν τοῖς ἱερῶς τιμῶσι σέ· σοφὲ νῦν Ἀχίλλιε, ὅπως κατευοδούμενοι, πράττωμεν τὰ θεία καὶ μὴ λάβωμεν πεῖραν, βασάνων αἰωνίων, καὶ ποινῶν δριμύτατων, τοῖς μὴ μετανοούσιν, ἐκεῖ ἀποκειμένων.
Θεοτοκίον.
Ἐν τῇ γαστρί σου ᾤκησε, μὴ λιπὼν τὰ οὐράνια, ἄχραντε Παρθένε ὁ Πατρὶ συνάναρχος, καὶ τὴν ἐνοικήσασαν, τῇ παραβάσει πρότερον, ἀπὸ τῶν ἀνθρώπων ἐξωθήσας κακίαν, ἐθέωσε τοὺς πίστει, ἀληθεῖ μελῳδοῦντας: Τὸν Κύριον ὑμνεῖτε, εἰς πάντας τοὺς αἰώνας.

ᾨδὴ θ΄. Φωτίζου, φωτίζου.
Εὐφραίνου, ἀγάλλου, τῶν Λαρισαίων ἡ πληθύς· τῆς γὰρ δόξης Κυρίου, ὁ Ναὸς πεπλήρωται, τοῦ ἱεροὺ ἤδη Ἀχιλλίου, φωταυγασθείς, μαρμαρυγαῖς θείαις, τοῦ Ἱεράρχου δεήσεσι.
Ὢ θείας! ὢ φίλης! ὢ ἀκένωτου δωρεάς! τῶν ἀπείρων θαυμάτων, ἃς πρὸς ἡμᾶς ἔδειξας, τοὺς ὑμνοῦντάς σε προσπεφευγότας, πόθῳ ψυχῆς, Ἀχίλλιε Πάτερ, τῶν Λαρισαίων ὁ πρόβολος.
Ὢ Πάσχα τὸ μέγα, καὶ ἱερώτατον Χριστέ· ὢ σοφία καὶ Λόγε, ὅνπερ ἀνεκήρυξε, ὁ θαυμαστὸς Ἀχίλλιος πρίν, οὗ ταῖς εὐχαῖς, πάντας ἡμᾶς ῥῦσαι ἐκ τῶν κινδύνων καὶ θλίψεων.

Τριαδικόν.
Ὢ ἄναρχε Πάτερ, καὶ συναΐδιε Υἱέ, ὁ τὴν γέννησιν ἔχων, ἐκ Θεοῦ Γεννήτορος, ἐκπορευτὸν Πνεῦμα δὲ ἐκ Πατρός, συνθρόνε Τριάς, φύσις ἑνιαία, ἡμᾶς τοὺς δούλους σου φύλαττε.

Ἄλλος. Ἐξέστη ἐπὶ τούτῳ.
Ἰδοὺ ὁ τάφος ἔνθα τὸ ἱερόν, νῦν κατακεῖται σῶμά σου Ἅγιε, μέσον ἡμῶν, κείμενον ὁρᾶται θαῦμα φρικτὸν ῥεῖθρα ἰαμάτων βλύζει γάρ, καὶ ἀναπηγάζει τὰς δωρεάς, τῶν θείων ἰαμάτων, ᾧ καὶ παρεστῶτες, μεγαλοφώνως σε γεραίρομεν.
Στησώμεθα χορείαν πνευματικήν, τὸν σοφὸν νῦν Ἀχίλλιον σέβοντες, τὸν ἀρεταῖς, καὶ ταῖς τῶν θαυμάτων ἀνατολαῖς, ὡς ἥλιον ἐκλάμψαντα, πάντων τὰς καρδίας τῶν εὐσεβῶς, ἐν πίστει ἀνυμνούντων, καὶ ὕμνοις γεραιρόντων, μνήμην αὐτοῦ τὴν πανσεβάσμιον.
Ἡμέραν εὐφροσύνης καὶ φωτισμοῦ, καὶ χαρᾶς ἀενάου ποιούμενοι, σοῦ τὴν σεπτήν, κοίμησιν βοῶμεν ἐν προσευχαῖς· Θεόφρον νῦν Ἀχίλλιε, μέμνησο καὶ προστῆθι ἐκτενῶς, τῶν σὲ ἀνευφημούντων, καὶ πόθῳ σὲ τιμώντων, ὅπως πταισμάτων λύσιν λάβωμεν.
Θεοτοκίον.
Φανεῖσα ὑπέρτερα τῶν Χερουβιμ, Θεοτόκε τὸν νοῦν μου ὑπέρτερον, τῶν ἡδονῶν, δεῖξον καὶ σκανδάλων τοῦ πονηροῦ, ὅπως τὸ θεῖον θέλημα, νῦν ἀνεμποδίστως ἐπιτελῶν, ζωῆς τῆς αἰωνίου, καὶ τῆς τῶν

σῳζομένων, μερίδος τύχω Θεονύμφευτε.

Ἐξαποστειλάρια. Ἦχος γ΄. Ἀπόστολοι ἐκ περάτων.
Λάρισα τέρπου καὶ χαῖρε, σὺν Θεσσαλίᾳ ἁπάσῃ, ἰδοὺ σοφοῦ Ἀχιλλίου, ἐπιτελεῖται ἡ μνήμη, καὶ μεθ᾽ ἡμῶν συγχορεύει, Ἀγγέλων πάντων ὁ δῆμος.
Ἦχος β΄. Σαρκὶ ὑπνώσας.
Χριστῷ ἐκ βρέφους σεαυτόν, προσαναθεὶς διήγαγες, Ἀγγέλων βίον ἔνδοξε, θανὼν δὲ χαίρεις μετ᾽ αὐτῶν, καὶ παρεστὼς τῷ Θρόνῳ νῦν, πρέσβυς ὑπὲρ εἰρήνης, γενοῦ ὦ Ἀχίλλιε.
Ὅμοιον.
Σαρκὶ Χριστῷ σταυρωθείς, καὶ νεκρωθεὶς Πατὴρ ἡμῶν, Αὐτῷ τε καὶ συνανέστης, καὶ συνευφραίνῃ τῇ Αὐτοῦ, ἐργέσει ὦ Ἀχίλλιε, Πάσχα τοῦ ἀθανάτου, σαφῶς ἐμφορούμενος.
Καὶ τῆς Ἑορτῆς.

Εἰς τοὺς Αἴνους. Ἦχος πλ. δ΄. Ὢ τοῦ παραδόξου θαύματος.
Δεῦτε λαμπρυνθέντες σήμερον, τὰς ἡμετέρας ψυχάς, πρὸς οὐράνια ἄρωμεν, εὐλαβῶς τὴν μνήμην σου, οἱ πιστοὶ ἑορτάζοντες, ἐνδεδυμένη, στολὴν δ’ ἑόρτιον, σεπτὴν Εἰκόνα, ἡ πόλις ἔνδοξε, πόθῳ γεραίρουσα, λιτανεύει σήμερον, θεοπρεπῶς, Ἀχίλλιε πάνσοφε, Χριστὸν δοξάζουσα.
Δεῦτε τὸν σοφὸν Ἀχίλλιον, τὸν ἐν Νικαίας σφοδρῶς, τοῦ Ἀρείου τὴν αἵρεσιν, τῇ σφενδόνῃ Πνεύματος, τοῦ

Ἁγίου τροπώσαντα, καὶ τὸν Χριστὸν δέ, ἀνακηρύξαντα, αὐτῆς οὐσίας, πρὸς τὸν Γεννήσαντα, Ἄναρχον Ἄκτιστον, ἐξ ἀρχῆς ὑπάρχοντα, Μονογενῆ, ὕμνοις εὐφημήσωμεν, πόθῳ γεραίροντες.
Δεῦτε τῶν πιστῶν τὸ σύστημα, τῆς Θεσσαλίας λαός, συνελθόντες ἐν πνεύματι, ἑορτὴν στησώμεθα, καὶ πιστῶς ἐκβοήσωμεν· θεομακαριστέ, Πάτερ Ὅσιε, τοὺς τὴν σὴν μνήμην, λαμπρῶς γεραίροντας, σῴζε πρεσβείαις σου, καὶ κινδύνων λύτρωσον, καὶ πειρασμῶν, ἔνδοξε Ἀχίλλιε, Ἀρχιερέων κρηπίς.
Δεῦτε τῶν πιστῶν τὸ σύστημα, ἐν ψαλμοῖς καὶ ὕμνοις, ἑορτὴν στησώμεθα, σκιρτῶντες πνευματικῶς καὶ ἀγαλλόμενοι· ἰδοὺ γὰρ μνήμη λαμπρά, τοῦ Ἀχιλλίου ἡμῖν νῦν ἐκλάμψασα, τῆς λαμπροφόρου αὐγῆς, καὶ σωτηρίου ἐργέσεως δείκνυται, καὶ καταφαιδρύνει πάντας, τοὺς αὐτὸν γεραίροντας, καὶ Χριστοῦ προσκυνοῦντας τὴν Τριήμερον Ἀνάστασιν
Δόξα. Ἦχος πλ. α´.
Τὸν τῆς Λαρίσης ἀδάμαντα καὶ Θεσσαλίας πάσης τὸ κλέος, τὸν πιστὸν τοῦ Κυρίου θεράποντα, Ἀχίλλιον ᾠδαῖς εὐφημήσωμεν. Τὸν δεινὸν ἀγωνιστὴν τῆς ὀρθοδόξου πίστεως, τὸν ἐν τῇ Νικαίᾳ μέλος θεολογίας μελωδήσαντα, ἀμαραντίνοις στεφάνοις καταστέψωμεν. Συμμέτοχος γὰρ τῆς θείας παρεμβολῆς τῶν θειοτάτων Πατέρων γενόμενος, τὸ ὁμοούσιον τοῦ Θεοῦ πρὸς τὸν Πατέρα τρανώσας, τὴν πίστιν ἐκράτυνε, τὴν αἵρεσιν τροπωσάμενος. Ἀρετῆς δὲ φθάσας τὸ ὕψος, καὶ δι᾽ ἔργων ἑαυτὸν πλούτων,

ἀνῆλθεν εἰς οὐρανούς, τῶν Ἀγγέλων ἰσοστάσιος καὶ τῶν Ἁγίων ὁμόσκηνος. Ὡς παῤῥησίαν ἔχοντα πρὸς Κύριον, ἐπικαλούμεθα εὐλαβῶς πρέσβυν ἀκοίμητον τοῦ χριστωνύμου λαοῦ.

Καὶ νῦν. Τῆς Ἑορτῆς .

Δοξολογία Μεγάλη καὶ Ἀπόλυσις.

## ΕΙΣ ΤΗΝ ΛΕΙΤΟΥΡΓΙΑΝ

Τὰ Ἀντίφωνα τῆς Ἑορτῆς.

Ἀπόστολος τοῦ Ἁγίου Νικολάου. Ἑβρ. ιγ᾽ 1721.

Εὐαγγέλιον τοῦ Ἁγίου Σπυρίδωνος. Ἰωάν. Ι᾽ 916.

Μεγαλυνάριον.

Χαίροις τῆς Λαρίσης ὁ θησαυρός, καύχημα Πατέρων, τῆς Νικαίας ὁ τηλαυγής, φάρος ἐξαστράπτων, τρανώσας θείαν φύσιν, Χριστοῦ ἐν τῇ Συνόδῳ, σοφὲ Ἀχίλλιε.

